HARVARD UNIVERSITY

Department of English

# Old Language Exams: Greek

The following are examples of graduate language exams previously given by the Department of English.

**Department of English and American Literature and Language**
**Greek Language Reading Examination**
**Fall 2007. G. Teskey**

**Instructions.** You have two hours. Choose ONE of the three following passages and translate it into English. You may use a dictionary.

1. Homer, Iliad, book 12, lines 451-71. These are the final lines of Book Twelve, in which Hector attacks the wall the Achaeans have built around their ships.

2. Sophocles, Electra, lines 1-19. The beginning of the play, after the argument, or plot summary ("hypothesis"). The Paedagogus enters with Orestes and Pylades and addresses Orestes.

3. The Gospel According to Mark, 6:14-6:24. Herod hears of Jesus; the story of John the Baptist's death.

1. Homer, Iliad, book 12, lines 451-71. These are the final lines of Book Twelve, in which Hector attacks the wall the Achaeans have built around their ships.

*ὡς δ' ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἄρσενος οἰὸς*
*χειρὶ λαβὼν ἑτέρῃ, ὀλίγον τέ μιν ἄχθος ἐπείγει,*
*ὣς Ἕκτωρ ἰθὺς σανίδων φέρε λᾶαν ἀείρας,*
*αἵ ῥα πύλας εἴρυντο πύκα στιβαρῶς ἀραρυίας,*
*δικλίδας ὑψηλάς· δοιοὶ δ' ἔντοσθεν ὀχῆες*
*εἶχον ἐπημοιβοί, μία δὲ κληῒς ἐπαρήρει.*
*στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἐρεισάμενος βάλε μέσσας,*
*εὖ διαβάς, ἵνα μή οἱ ἀφαυρότερον βέλος εἴη,*
*ῥῆξε δ' ἀπ' ἀμφοτέρους θαιρούς· πέσε δὲ λίθος εἴσω*
*βριθοσύνῃ, μέγα δ' ἀμφὶ πύλαι μύκον, οὐδ' ἄρ' ὀχῆες*
*ἐσχεθέτην, σανίδες δὲ διέτμαγεν ἄλλυδις ἄλλη*
*λᾶος ὑπὸ ῥιπῆς· ὁ δ' ἄρ' ἔσθορε φαίδιμος Ἕκτωρ*
*νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια· λάμπε δὲ χαλκῷ*
*σμερδαλέῳ, τὸν ἕεστο περὶ χροΐ, δοιὰ δὲ χερσὶ*
*δοῦρ' ἔχεν· οὔ κέν τίς μιν ἐρύκακεν ἀντιβολήσας*
*νόσφι θεῶν, ὅτ' ἐσᾶλτο πύλας· πυρὶ δ' ὄσσε δεδήει.*
*κέκλετο δὲ Τρώεσσιν ἑλιξάμενος καθ' ὅμιλον*
*τεῖχος ὑπερβαίνειν· τοὶ δ' ὀτρύνοντι πίθοντο.*
*αὐτίκα δ' οἱ μὲν τεῖχος ὑπέρβασαν, οἱ δὲ κατ' αὐτὰς*
*ποιητὰς ἐσέχυντο πύλας· Δαναοὶ δὲ φόβηθεν*
*νῆας ἀνὰ γλαφυράς, ὅμαδος δ' ἀλίαστος ἐτύχθη.*

452 *δέ* **e f r** Pa T : *δτε* $\mathfrak{p}^{59}$ 457 *στῆ δ' ἄρ' ἐπ' οὐδὸν* v. l. in A 458 om. $\mathfrak{p}^{59}$ 459 *ἀπ'*] *ἐπ'* $\mathfrak{p}^{9}$ **a b c d f k q** B C al. : om. D L$^{19}$ T U$^{10}$ U$^{11}$ V$^{10}$ *δὲ*] *δὴ* **p** U$^{6}$ : *δ' αὖ* **h** al. 461 *διέτμαγεν* $\mathfrak{p}^{9}$ **g l** A B C T al. : *διέτμαγον* vulg. 463 *νυκτὶ ἐλυσθεὶς* Zen. 464 *σμερδαλέον* v. l. Eu. V$^{2}$ corr. 465 *οὔ κέν* Ar. **h** al. : *οὐκ ἄν* vulg. *ἐρύκακεν* Ar. L$^{18}$ P$^{1}$ P$^{4}$ U$^{11}$ V$^{1}$ V$^{12}$ V$^{32}$ : *ἐρυκάκοι* cet. 466 *πυρὶ*] *περὶ* **h** L$^{14}$ V$^{11}$ V$^{12}$ V$^{18}$ 468 *ὀτρύνοντι* Ar. vulg. : *ὀτρύναντι* v. l. ant. L$^{18}$ L$^{19}$ N$^{4}$ V$^{12}$ V$^{32}$ : *ὀτραλέως* V$^{16}$ 470 *λαοὶ* Bm$^{8}$ P$^{4}$

2. Sophocles, Electra, lines 1-19. The beginning of the play, after the argument, or plot summary ("hypothesis"). The Paedagogus enters with Orestes and Pylades and addresses Orestes.

# ΗΛΕΚΤΡΑ

ΠΑΙΔΑΓΩΓΟΣ

Ὦ τοῦ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ
Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι
παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί.
τὸ γὰρ παλαιὸν Ἄργος οὑπόθεις τόδε,
τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης·
αὕτη δ', Ὀρέστα, τοῦ λυκοκτόνου θεοῦ
ἀγορὰ Λύκειος· οὑξ ἀριστερᾶς δ' ὅδε
Ἥρας ὁ κλεινὸς ναός· οἷ δ' ἱκάνομεν,
φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν,
πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε,
ὅθεν σε πατρὸς ἐκ φονῶν ἐγώ ποτε
πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης λαβὼν
ἤνεγκα κἀξέσωσα κἀξεθρεψάμην
τοσόνδ' ἐς ἥβης, πατρὶ τιμωρὸν φόνου.
νῦν οὖν, Ὀρέστα καὶ σὺ φίλτατε ξένων
Πυλάδη, τί χρὴ δρᾶν ἐν τάχει βουλευτέον·
ὡς ἡμὶν ἤδη λαμπρὸν ἡλίου σέλας
ἑῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ
μέλαινά τ' ἄστρων ἐκλέλοιπεν εὐφρόνη.

3. The Gospel According to Mark, 6:14-6:24. Herod hears of Jesus; the story of John the Baptist's death.

g 1 Cor. iii. 14. Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρώδης, (g φανερὸν γὰρ g ἐγένετο τὸ
13; xiv. 25. Phil. ὄνομα αὐτοῦ,) καὶ ἔλεγεν,[1] "Ὅτι Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν
i. 13. h vide Mt. ἠγέρθη,[2] καὶ διὰ τοῦτο h ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ." 15. Ἄλλοι[3]
xiv. 2. ἔλεγον, "Ὅτι Ἠλίας ἐστίν·" ἄλλοι δὲ ἔλεγον, "Ὅτι προφήτης
ἐστίν, ἢ[4] ὡς εἷς τῶν προφητῶν." 16. Ἀκούσας δὲ ὁ Ἡρώδης εἶπεν,[5]
"Ὅτι[6] ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός[7] ἐστιν· αὐτὸς ἠγέρθη
ἐκ νεκρῶν."[7] 17. Αὐτὸς γὰρ ὁ Ἡρώδης ἀποστείλας ἐκράτησε τὸν
Ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν τῇ[8] φυλακῇ, διὰ Ἡρωδιάδα τὴν
γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν.

[1] So in ℵACLΔΣ (Tisch., W.H., margin). *Vide* below.
[2] εγηγερται εκ νεκρων in ℵBDLΔ 33.
[3] Many uncials add δε.
[4] ℵBCL omit εστιν η (Tisch., W.H.).
[5] ελεγεν in ℵBCLΔ 33.
[6] οτι omit ℵBDL 33.
[7] For ουτος . . . εκ νεκ. ℵBLΔ have simply ουτος ηγερθη.
[8] τη is found only in minusc.

18. ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρώδῃ, "Ὅτι οὐκ ἔξεστί σοι ἔχειν
τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου." 19. Ἡ δὲ Ἡρωδιὰς ἐνεῖχεν i Lk. xi. 53.
αὐτῷ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι· καὶ οὐκ ἠδύνατο. 20. ὁ γὰρ
Ἡρώδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον,
καὶ συνετήρει αὐτόν· καὶ ἀκούσας αὐτοῦ, πολλὰ ἐποίει,[1] καὶ ἡδέως
αὐτοῦ ἤκουε. 21. καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρώδης τοῖς
γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει[2] τοῖς j μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς j Rev. vi. 15; xviii. 23.

[1] ηπορει in ℵBL. Memph. vers. (R.V., Tisch., Trg., marg., W.H., Ws.). εποιει (T.R.) in ACDΔΠΣΦ, etc. Lat. and Syr. verss.
[2] εποιησεν in ℵBCDLΔ.

χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας, 22. καὶ εἰσελθούσης τῆς
θυγατρὸς αὐτῆς τῆς[1] Ἡρωδιάδος, καὶ ὀρχησαμένης, καὶ ἀρεσάσης[2]
τῷ Ἡρώδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ βασιλεὺς[3] τῷ κορασίῳ,
"Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοί·" 23. καὶ ὤμοσεν αὐτῇ,
"Ὅτι ὃ ἐάν[4] με αἰτήσῃς, δώσω σοί, ἕως ἡμίσους τῆς βασιλείας μου."
24. Ἡ δὲ[5] ἐξελθοῦσα εἶπε τῇ μητρὶ αὐτῆς, "Τί αἰτήσομαι[6];"
Ἡ δὲ εἶπε, "Τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ."[7]

[1] For αυτης της ℵBDLΔ have αυτου (omitting της), adopted by W.H. contrary, Weiss thinks, to all history, all grammar, and the context (*vide* in Meyer).
[2] For και αρεσ. ℵBCL 33 have ηρεσεν.
[3] ο δε βασιλ. ειπεν in ℵBCLΔ 33.
[4] BΔ have ο τι εαν, the most probable reading (W.H. text).
[5] For η δε ℵBLΔ 33 have και.
[6] αιτησωμαι in ℵABCDGLΔ 33.
[7] βαπτιζοντος in ℵBLΔ.

7th c (?) B.C. Homer, Iliad 1.584-600. Hephaistos comforts his mother after Zeus's threats and tells how he was thrown from heaven.



ἀλλὰ μάλ' εὔκηλος τὰ φράζεαι ἅσσα θέλῃσθα.
νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα μή σε παρείπῃ
ἀργυρόπεζα Θέτις θυγάτηρ ἁλίοιο γέροντος·
ἠερίη γὰρ σοί γε παρέζετο καὶ λάβε γούνων·
τῇ σ' ὀΐω κατανεῦσαι ἐτήτυμον ὡς Ἀχιλῆα
τιμήσῃς, ὀλέσῃς δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν."
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
"δαιμονίη, αἰεὶ μὲν ὀΐεαι, οὐδέ σε λήθω·
πρῆξαι δ' ἔμπης οὔ τι δυνήσεαι, ἀλλ' ἀπὸ θυμοῦ
μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
εἰ δ' οὕτω τοῦτ' ἐστίν, ἐμοὶ μέλλει φίλον εἶναι·
ἀλλ' ἀκέουσα κάθησο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ,
μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ
ἆσσον ἰόνθ', ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω."
Ὣς ἔφατ', ἔδεισεν δὲ βοῶπις πότνια Ἥρη,
καί ῥ' ἀκέουσα καθῆστο, ἐπιγνάμψασα φίλον κῆρ·
ὄχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοὶ Οὐρανίωνες·
τοῖσιν δ' Ἥφαιστος κλυτοτέχνης ἦρχ' ἀγορεύειν,
μητρὶ φίλῃ ἐπὶ ἦρα φέρων, λευκωλένῳ Ἥρῃ·
"ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται οὐδ' ἔτ' ἀνεκτά,
εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
ἐν δὲ θεοῖσι κολῳὸν ἐλαύνετον· οὐδέ τι δαιτὸς
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
μητρὶ δ' ἐγὼ παράφημι, καὶ αὐτῇ περ νοεούσῃ,
πατρὶ φίλῳ ἐπὶ ἦρα φέρειν Διί, ὄφρα μὴ αὖτε
νεικείῃσι πατήρ, σὺν δ' ἡμῖν δαῖτα ταράξῃ.
εἴ περ γάρ κ' ἐθέλῃσιν Ὀλύμπιος ἀστεροπητὴς
ἐξ ἑδέων στυφελίξαι· ὁ γὰρ πολὺ φέρτατός ἐστιν·
ἀλλὰ σὺ τόν γ' ἐπέεσσι καθάπτεσθαι μαλακοῖσιν·
αὐτίκ' ἔπειθ' ἵλαος Ὀλύμπιος ἔσσεται ἡμῖν."

554 ὅττι θέλῃσθα Dion. Sid. 559 πολῦς Zen. ap. sch. T (cod. πολεῖς, cf. B 4) 560 τὴν δὲ μέγ' ὀχθήσας v. l. in A 565 ἀέκουσα Ap. Dysc. adv. 554. 18 (ἐν ἐνίαις ἐκδόσεσιν) 567 ἰόνθ'] ἰόντε Zen. ἀέπτους Aristoph. 572 ἐπὶ ἦρα Hdn. Hesych. (cf. Ξ 132, al.): ἐπίηρα Ar. vulg. τετιημένῃ ἦτορ v. l. ap. s B T





Ὣς ἄρ' ἔφη, καὶ ἀναΐξας δέπας ἀμφικύπελλον
μητρὶ φίλῃ ἐν χειρὶ τίθει, καί μιν προσέειπε·
"τέτλαθι, μῆτερ ἐμή, καὶ ἀνάσχεο κηδομένη περ,
μή σε φίλην περ ἐοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι
θεινομένην, τότε δ' οὔ τι δυνήσομαι ἀχνύμενός περ
χραισμεῖν· ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι·
ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα
ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο,
πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι
κάππεσον ἐν Λήμνῳ, ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν·
ἔνθα με Σίντιες ἄνδρες ἄφαρ κομίσαντο πεσόντα."
Ὣς φάτο, μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη,
μειδήσασα δὲ παιδὸς ἐδέξατο χειρὶ κύπελλον·
αὐτὰρ ὁ τοῖς ἄλλοισι θεοῖς ἐνδέξια πᾶσιν
οἰνοχόει γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων·
ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν,
ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.
Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
οὐ μὲν φόρμιγγος περικαλλέος, ἣν ἔχ' Ἀπόλλων,
Μουσάων θ', αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.
Αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο,
οἱ μὲν κακκείοντες ἔβαν οἶκόνδε ἕκαστος,
ἧχι ἑκάστῳ δῶμα περικλυτὸς ἀμφιγυήεις
Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσι·
Ζεὺς δὲ πρὸς ὃν λέχος ἤϊ' Ὀλύμπιος ἀστεροπητής,
ἔνθα πάρος κοιμᾶθ' ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
ἔνθα καθεῦδ' ἀναβάς, παρὰ δὲ χρυσόθρονος Ἥρη.

585 χειρὶ Aristoph. Scalg. Mass. Ar.: χερσὶ codd. 593 ἐς Λῆμνον v. l. ant. 598 οἰνοχόει Antim. Zen. Aristoph. Mass. Argol. Ar., Bm[3] L[8] (ὠν-): ᾠνοχόει vulg. 600 ποιπνύοντα codd.: ποιπνύσαντα Ar. (αἱ πᾶσαι g Lp T) 606 κακκείοντες codd.: δὴ κείοντες Ar. (αἱ πᾶσαι g Lp T) ἕκαστος] νέεσθαι N[8] N[10] P[17] U[5] 608 ἰδυίῃσι Ar. P[1] A M[3] Vi[1] Eu: εἰδ. cet. 609 πρὸς ὃν λέχος Zen. P[4] 611 ἔνθ' ἐκάθευδ' Zen.

4th c. BC Thucydides, Histories 2.41. From Pericles' oration on the Athenian dead.



οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες καὶ διὰ
4 ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. καὶ τὰ ἐς ἀρε-
τὴν ἐνηντιώμεθα τοῖς πολλοῖς· οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ
δρῶντες κτώμεθα τοὺς φίλους. βεβαιότερος δὲ ὁ δράσας
τὴν χάριν ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σῴζειν·
ὁ δὲ ἀντοφείλων ἀμβλύτερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ' ἐς
5 ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. καὶ μόνοι οὐ τοῦ ξυμφέ-
ροντος μᾶλλον λογισμῷ ἢ τῆς ἐλευθερίας τῷ πιστῷ ἀδεῶς
τινὰ ὠφελοῦμεν.

41 'Ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος
παίδευσιν εἶναι καὶ καθ' ἕκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν
ἄνδρα παρ' ἡμῶν ἐπὶ πλεῖστ' ἂν εἴδη καὶ μετὰ χαρίτων
2 μάλιστ' ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι. καὶ
ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων
ἐστὶν ἀλήθεια, αὐτὴ ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε
3 τῶν τρόπων ἐκτησάμεθα, σημαίνει. μόνη γὰρ τῶν νῦν
ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται, καὶ μόνη οὔτε τῷ πολε-
μίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ οὔτε
4 τῷ ὑπηκόῳ κατάμεμψιν ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται. μετὰ
μεγάλων δὲ σημείων καὶ οὐ δή τοι ἀμάρτυρόν γε τὴν δύναμιν
παρασχόμενοι τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα,
καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου οὔτε ὅστις
ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἡ
ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν
τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι, πανταχοῦ δὲ
5 μνημεῖα κακῶν τε κἀγαθῶν ἀίδια ξυγκατοικίσαντες. περὶ
τοιαύτης οὖν πόλεως οἵδε τε γενναίως δικαιοῦντες μὴ ἀφαι-
ρεθῆναι αὐτὴν μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν λειπομένων
πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν.

42 'Δι' ὃ δὴ καὶ ἐμήκυνα τὰ περὶ τῆς πόλεως, διδασκαλίαν
τε ποιούμενος μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα καὶ οἷς

3 ἐνηντιώμεθα Rutherford: ἠναντιώμεθα codd.: ἠντιώμεθα Hesychius 12 ἡμῖν Cobet 15 αὕτη C [G] 22 καὶ secl. Krüger 26 ἀίδια] ἰδίᾳ A B E F



τῶνδε μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν εὐλογίαν ἅμα ἐφ' οἷς
νῦν λέγω φανερὰν σημείοις καθιστάς. καὶ εἴρηται αὐτῆς 2
τὰ μέγιστα· ἃ γὰρ τὴν πόλιν ὕμνησα, αἱ τῶνδε καὶ τῶν
τοιῶνδε ἀρεταὶ ἐκόσμησαν, καὶ οὐκ ἂν πολλοῖς τῶν Ἑλλή-
νων ἰσόρροπος ὥσπερ τῶνδε ὁ λόγος τῶν ἔργων φανείη.
δοκεῖ δέ μοι δηλοῦν ἀνδρὸς ἀρετὴν πρώτη τε μηνύουσα καὶ
τελευταία βεβαιοῦσα ἡ νῦν τῶνδε καταστροφή. καὶ γὰρ 3
τοῖς τἆλλα χείροσι δίκαιον τὴν ἐς τοὺς πολέμους ὑπὲρ τῆς
πατρίδος ἀνδραγαθίαν προτίθεσθαι· ἀγαθῷ γὰρ κακὸν ἀφανί-
σαντες κοινῶς μᾶλλον ὠφέλησαν ἢ ἐκ τῶν ἰδίων ἔβλαψαν.
τῶνδε δὲ οὔτε πλούτου τις τὴν ἔτι ἀπόλαυσιν προτιμήσας 4
ἐμαλακίσθη οὔτε πενίας ἐλπίδι, ὡς κἂν ἔτι διαφυγὼν αὐτὴν
πλουτήσειεν, ἀναβολὴν τοῦ δεινοῦ ἐποιήσατο· τὴν δὲ τῶν
ἐναντίων τιμωρίαν ποθεινοτέραν αὐτῶν λαβόντες καὶ κινδύ-
νων ἅμα τόνδε κάλλιστον νομίσαντες ἐβουλήθησαν μετ'
αὐτοῦ τοὺς μὲν τιμωρεῖσθαι, τῶν δὲ ἐφίεσθαι, ἐλπίδι μὲν
τὸ ἀφανὲς τοῦ κατορθώσειν ἐπιτρέψαντες, ἔργῳ δὲ περὶ τοῦ
ἤδη ὁρωμένου σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι, καὶ ἐν
αὐτῷ τῷ ἀμύνεσθαι καὶ παθεῖν μᾶλλον ἡγησάμενοι ἢ [τὸ]
ἐνδόντες σῴζεσθαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ'
ἔργον τῷ σώματι ὑπέμειναν καὶ δι' ἐλαχίστου καιροῦ τύχης
ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον ἢ τοῦ δέους ἀπηλλάγησαν.
'Καὶ οἵδε μὲν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο· 43
τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλεστέραν μὲν εὔχεσθαι, ἀτολμο-
τέραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν,
σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ὠφελίαν, ἣν ἄν τις πρὸς
οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα ἐν
τῷ τοὺς πολεμίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν, ἀλλὰ μᾶλλον
τὴν τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους καὶ
ἐραστὰς γιγνομένους αὐτῆς, καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι,

5 τῷ ἔργῳ Dobree 11 πλούτῳ A B E F M 16 ἀφίεσθαι Poppo 19 τῷ C G Dion. Hal.: τὸ cett. Schol. μᾶλλον] κάλλιον Dobree τὸ om. Dion. Hal. 25 πολέμους C [G] 26 post ἂν add. τί Krüger

1st c. A.D. St. Paul. 1 Corinthians 15:43-45; 51-57. On the resurrection of the dead.



ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι [y] τὸ ὄφελος; εἰ νεκροὶ οὐκ
33 ἐγείρονται, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. μὴ πλα-
34 νᾶσθε· Φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί. ἐκνήψατε δικαίως, καὶ
μὴ ἁμαρτάνετε· ἀγνωσίαν γὰρ Θεοῦ τινὲς ἔχουσι· πρὸς ἐντροπὴν ὑμῖν
λαλῶ.

35 Ἀλλ' ἐρεῖ τις, Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται;
36 ἄφρων, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ· καὶ ὃ σπείρεις,
37 οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι,
38 σίτου, ἤ τινος τῶν λοιπῶν· ὁ δὲ Θεὸς δίδωσιν αὐτῷ σῶμα καθὼς
39 ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων ἴδιον σῶμα. οὐ πᾶσα σὰρξ ἡ
αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη
40 δὲ σὰρξ πτηνῶν, ἄλλη δὲ ἰχθύων. καὶ σώματα ἐπουράνια, καὶ σώ-
ματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν
41 ἐπιγείων. ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα
42 ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. οὕτω καὶ ἡ ἀνάστα-
43 σις τῶν νεκρῶν. σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπεί-
ρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται
44 ἐν δυνάμει· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν.
45 εἰ ἔστι σῶμα ψυχικόν, ἔστι καὶ πνευματικόν. οὕτω καὶ γέγραπται,
Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν. ὁ ἔσχατος
46 Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. ἀλλ' οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ
47 τὸ ψυχικόν· ἔπειτα τὸ πνευματικόν. ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκός.
48 ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί·
49 καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· καὶ καθὼς ἐφορέ-
σαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, [z] φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπου-
ρανίου.

50 Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κλη-
ρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ.

---

[y] τὸ ὄφελος, εἰ νεκροὶ οὐκ ἐγείρονται; [z] φορέσωμεν

---

[47] ἄνθρωπος *alt.*] *absque additam.* ℵ* B C D* G 33 424** 𝔏 𝔈 𝔈𝔱𝔥 Hipp. Orig. ½ Orig.[lat.] ⅔ Petr.-Alex. Greg.-Naz. Greg.-Nyss. Tert. Cypr. ½ Hil. Ambst. ⅔ Greg.-Illib. Priscill. Amb. ⅔ *al.* : *add.* πνευματικὸς 𝔭[46] : *add.* ὁ κύριος ℵ[c] A ω 𝔖 (vg. hl. pal.) 𝔄 𝔊 Orig. ½ Bas. Chr. Cosm. *al.* [49] φορέσομεν B 181 *al. pauc.* 𝔈 (sah.) 𝔄 𝔈𝔱𝔥 Aphr. Cyr. ⅔ Cosm. ½ *al.* : φορέσωμεν 𝔭[46] ℵ A C D G ω 𝔏 𝔈 (boh.) 𝔊 Mcion Iren.[lat.] Orig. Bas. Chr. Cyr. ⅔ Cosm. ½ Tert. Cypr. ½ Hil. Ambst. Greg.-Illib. Priscill. ½ Amb. *al.*



ἰδού, μυστήριον ὑμῖν λέγω· πάντες οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλα- 51
γησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλ- 52
πίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγη-
σόμεθα. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ 53
θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. ὅταν δὲ [a] τὸ φθαρτὸν τοῦτο ἐν- 54
δύσηται ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε
γενήσεται ὁ λόγος ὁ γεγραμμένος, Κατεπόθη ὁ θάνατος εἰς νῖκος.
Ποῦ σου, θάνατε, τὸ νῖκος; ποῦ σου, θάνατε, τὸ κέντρον; τὸ δὲ κέν- 55 56
τρον τοῦ θανάτου ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος· τῷ 57
δὲ Θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ. ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνη- 58
τοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κό-
πος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ.

Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς ἐκ- 16
κλησίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε. κατὰ μίαν σαββάτου 2
ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων ὅ τι ἂν εὐοδῶται, ἵνα
μὴ ὅταν ἔλθω τότε λογίαι γίνωνται. ὅταν δὲ παραγένωμαι, οὓς ἐὰν 3
[b] δοκιμάσητε δι' ἐπιστολῶν, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν
εἰς Ἱερουσαλήμ· ἐὰν δὲ ἄξιον ᾖ τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύ- 4
σονται. ἐλεύσομαι δὲ πρὸς ὑμᾶς, ὅταν Μακεδονίαν διέλθω· Μακεδο- 5
νίαν γὰρ διέρχομαι· πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχει- 6
μάσω, ἵνα ὑμεῖς με προπέμψητε οὗ ἐὰν πορεύωμαι. οὐ θέλω γὰρ ὑμᾶς 7
ἄρτι ἐν παρόδῳ ἰδεῖν· ἐλπίζω γὰρ χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς,
ἐὰν ὁ Κύριος ἐπιτρέψῃ. ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς Πεντηκοστῆς· 8
θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργής, καὶ ἀντικείμενοι πολλοί. 9

---

[a] *om.* τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν, καὶ [b] δοκιμάσητε, δι' ἐπιστολῶν τούτους

---

[51] οὐ κοιμηθησόμεθα (*add.* οὐ 𝔭[46]) πάντες δὲ ἀλλαγησόμεθα 𝔭[46] B D[b] (?) ω *codd. Graec. ap.* Hier. (*et* Hier. *teste ap.* Acacium *et* Did.) *ap.* Ps.-Hier. *et* Maximin. 𝔖 (vg. hl.) 𝔈 𝔊 𝔈𝔱𝔥 Orig. ½ *et fort. alibi*, Orig.[lat.] *Dial.* Chr. Cosm. *al.* : κοιμηθησόμεθα, οὐ πάντες δὲ ἀλλαγησόμεθα ℵ (A 1) C G 33 *codd. Graec. ap.* Hier. *ap.* Acac. *ap.* Did. *ap.* Aug. *ap.* Ps.-Hier. *ap.* Maximin. (*ut supra*) 𝔏 (vt.[s]) 𝔄 Orig. ½ Aphr. ⅔ : ἀναστησόμεθα, οὐ πάντες δὲ ἀλλαγησόμεθα D* 𝔏 *codd. Lat. ap.* Hier. *ap.* Aug., 𝔄[txt] Mcion Tert. Hil. ½ Ambst. Greg.-Illib. *al.* (*cf.* 1 Thess. iv. 16) [54] τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν καὶ *om.* 𝔭[46] ℵ* C* (G) I M 0121 1912 𝔏 (vt.[(s)] vg.) 𝔈 (boh.) 𝔊 𝔈𝔱𝔥 Mcion Iren.[lat.] (Cypr.) Hil. Ambst. *al.* [55] θάνατε *alt.* 𝔭[46] ℵ* B C D G I 326 424** 𝔏 𝔈 Mcion Iren.[lat.] ½ Orig.[lat.] ½ Eus. Tert. Cypr. Hil. Ambst. Priscill. Amb. Aug. *al.* : ᾅδη ℵ[c] A[2] ω 𝔖 (vg. hl.) 𝔄 𝔊 𝔈𝔱𝔥 Orig. ½ Ath. Apollin. Did. Chr. Cosm. *al.*

16. [3] *sive ante sive post* (*ut* Orig.[cat.]) δι' ἐπιστολῶν (*quod om.* 𝔈 (sah.)) *interpungi potest*